# TEZAUR LITURGIC

## 31 IANUARIE
## GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL SF.CUVIOS ARSENIE DE LA PAROS

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΑΡΣΕΝΙΟΝ ΤΟΝ ΝΕΟΝ ΤΟΝ ΕΝ ΠΑΡΩ ΑΣΚΗΣΑΝΤΑ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Τῇ ἰσαγγέλῳ σου ζωῇ θεοφόρε, θεοπρεπῶς παρὰ Χριστοῦ ἐδοξάσθης, ταῖς τῶν θαυμάτων χάρισιν Ἀρσένιε· ὅθεν πάσης θλίψεως, καὶ δεινῶν νοσημάτων, πόνων καὶ κακώσεων, καὶ παντοίας ἀνάγκης, ταῖς σαῖς πρεσβείαις Πάτερ πρὸς Χριστόν, φύλαττε πάντας, τοὺς σὲ μακαρίζοντας.

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: Ἀρσένιε, πόνων ἡμᾶς ῥῦσαι. Γερασίμου.

Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.
Ἀγγέλων συνόμιλος γεγονώς, σὺν αὐτοῖς δυσώπει, τὸν Σωτῆρα ὑπὲρ ἡμῶν, πάσης ἡμᾶς ῥύεσθαι ἀνάγκης, καὶ δυσχερείας Ἀρσένιε Ὅσιε.
Ῥανίσι τῶν θείων σου δωρεῶν, τὴν ἐξηραμμένην, ἐκπυρώσει τῇ τῶν παθῶν, ψυχήν μου κατάρδευσιν θεόφρων, πρὸς εὐκαρπίαν σωτήριον Ὅσιε.

Σωμάτων ὀδύνας τὰς χαλεπάς, καὶ ψυχῶν τὰς νόσους, τῇ δοθείσῃ σοι δωρεᾷ, ἴασαι Ἀρσένιε παμμάκαρ, τῶν προσιόντων θερμῶς τῇ σῇ χάριτι.

Θεοτοκίον.

Ἐτρώθην τοῖς βέλεσι τοῦ ἐχθροῦ, καὶ ὅλος ἡλκώθην, ἁμαρτίας τῇ ἐμμονῇ· ἀλλὰ Σὺ Παρθένε ὡς οἰκτίρμον, τῆς συνεχούσης ἀνάγκης με λύτρωσαι.

ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Νέον ἄστρον ὁράθης ταῖς νοηταῖς λάμψεσιν, ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, Πάτερ Ἀρσένιε· ὅθεν διάλυσον, τῶν πειρασμῶν τὴν ὁμίχλην, ἀπειλοῦσαν Ὅσιε, ἡμῖν τὰ χείρονα.

Ἰατῆρά σε θεῖον ὡς ἀληθῶς ἔδειξε, Πάτερ ἐν ἐσχάτοις τοῖς χρόνοις, Χριστὸς ὁ Κύριος· ὅθεν ἰάτρευσον, τὴν ἀσθενοῦσαν ψυχήν μου, προσβολαῖς τοῦ ὄφεως, ὡς συμπαθέστατος.

Εὐωδία ἀῤῥήτω τῆς θαυμαστῆς κάρας σου, δίωξον παθῶν τὸ δυσῶδες, ἐκ τῶν ψυχῶν ἡμῶν, ὡς ἂν ἐνάρετον, βίον διέλθωμεν Πάτερ, εὐωδέσι πράξεσι, Χριστὸν δοξάζοντες.

Θεοτοκίον.

Πολυώνυμε Κόρη Μῆτερ Θεοῦ ἄφθορε, τὴν καταφθαρεῖσαν ψυχήν μου, πολλοῖς ἐν πάθεσιν, ἴασαι δέομαι, καὶ καθαρὰν αὐτὴν δεῖξον, μετανοίας πράξεσιν, ἵνα δοξάζω Σε.

Διάσωσον, ἐξ πάσης βλάβης Ἀρσένιε θεοφόρε, τοὺς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, καὶ τῶν πταισμάτων συγχώρησιν ἡμῖν αἴτει.
Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.
Προστάτην θερμὸν ἡ Πάρος σε ἐκτήσατο, καὶ μέγαν σοφέ, μεσίτην πρὸς τὸν Κύριον· διὸ ἀεὶ τῇ σκέπῃ σου, καταφεύγει βοῶσα Ἀρσένιε· ἐκ ποικίλων ἡμᾶς δυσχερειῶν, ἀπάλλαττε Πάτερ τῇ πρεσβείᾳ σου.

ᾨδὴ δ'. Εἰσακήκοα Κύριε.
Ὁ δαιμόνων τὸ σύστημα, πάλαι ἐκδιώξας πόῤῥῳ τῶν δούλων σου, τῆς αὐτῶν καὶ νῦν ἀπάλλαξον, Πάτερ κακουργίας τὰς ψυχὰς ἡμῶν.
Νόσων Πάτερ τοὺς ἄνθρακας, καὶ τῶν πειρασμῶν τὴν φλόγαν κατέσβεσον, τὴν πικρῶς ἡμᾶς φλογίζουσαν, δρόσῳ τῆς σῆς χάριτος Ἀρσένιε.
Ὥσπερ πάλαι ἠνέωξας, Πάτερ οὐρανὸν καὶ γῆ βροχὴν δέδωκεν, οὕτως ἄνοιξον Ἀρσένιε, τοῦ Χριστοῦ ἡμῖν τὴν ἀγαθότητα.
Θεοτοκίον.
Νέον βρέφος ἐκύησας, τὸν πρὸ τῶν αἰώνων Θεὸν καὶ Κύριον, νεουργοῦντα Κόρη πάναγνε, τοὺς παλαιωθέντας ἁμαρτήμασι.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.
Ἤσχυνας ἐχθροῦ, τὰ βουλεύματα Ἀρσένιε, οὗ τὴν ἄδικον βουλὴν τὴν καθ’ ἡμῶν, τῇ πρεσβείᾳ σου ματαίωσον δεόμεθα.
Μέγας ἀρωγός, τοῖς Παρίοις ἀναδέδειξαι, ἐκ κινδύνων καὶ δεινῶν δυσπραγιῶν, ἐξαιρούμενος τὴν νῆσόν σου Ἀρσένιε.
Ἄνωθεν ἡμῖν, συμπαθῶς δίδου Ἀρσένιε, ὡς φιλόστοργος Πατὴρ τὰς δωρεάς, τοῖς ἐν πίστει προσιοῦσι τοῖς λειψάνοις σου.
Θεοτοκίον.
Σύ μου προσφυγή, σωτηρία καὶ ἀντίληψις· διὰ τοῦτο καταφεύγω Σοι ἁγνή, καθ’ ἑκάστην καὶ λυτροῦμαι τοῦ ἀλάστορος.

Ὠδὴ στ΄. Τὴν δέησιν.
Ῥημάτων, τῶν σῶν ἡδίστων χειλέων, τὴν φωνὴν καὶ νῦν ἐνήχησον πάλιν, ἐν ταῖς ψυχαῖς νοερῶς τῶν σῶν τέκνων, ἀπὸ ληθάργου δεινοῦ διεγείρουσαν, ἡμᾶς Ἀρσένιε σοφέ, πρὸς σπουδὴν ἀγαθῶν Πάτερ πράξεων.
Ὑπάρχων, πλήρης ἐνθέων χαρίτων, ὡς θεράπων τοῦ Χριστοῦ θεοφόρος, θαυματουργίαις πολλαῖς ἐδοξάσθης· ὅθεν καὶ νῦν θαυματούργει Ἀρσένιε, τοῖς ἐκζητοῦσιν εὐλαβῶς, τὴν θερμήν σου βοήθειαν Ὅσιε.
Συντρέχει, οὐ μόνον πᾶσα ἡ Πάρος, τῇ σορῷ τῶν σῶν ἁγίων λειψάνων, ἀλλὰ καὶ πᾶς, εὐσεβὴς ἀλλαχόθεν, καὶ τὰς αἰτήσεις οἱ πάντες λαμβάνουσιν, Ἀρσένιε θαυματουργέ, ἐκ τῆς σῆς δαψιλοῦς χάριτος.

Θεοτοκίον.
Ἀγγέλων, ἁγιωτέρα ἐδείχθης, Παναγία ὑπεράμωμε Κόρη, ὡς τῶν Ἁγίων τὸ Ἅγιον μόνον, ὑπεραγίως ἡμῖν σωματώσασα· δι᾽ ὃ ἁγίασον ἡμῶν, καὶ ψυχὴν καὶ καρδίαν καὶ ἔννοιαν.

Διάσωσον, ἐξ πάσης βλάβης Ἀρσένιε θεοφόρε, τοὺς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, καὶ τῶν πταισμάτων συγχώρησιν ἡμῖν αἴτει.
Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.
Τῇ προστασίᾳ σου σπεύδοντες Ἅγιε, τῶν πατρικῶν δωρεῶν σου πληρούμεθα, Χριστὸν μεγαλύνοντες Ὅσιε, τὸν σὲ προστάτην ἡμῖν ἀναδείξαντα, Ἀρσένιε Πάρου ἀγλάϊσμα.

Προκείμενον: Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ
Στ.: Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον.

Δόξα: Ταῖς τοῦ Σοῦ Ὁσίου...
Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου...
Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στίχ.: Ἐλέησόν με ὁ Θεός...
Βίον ἐκ νεότητος, ἀγγελικὸν ἀγαπήσας, σκεῦος καθαρώτατον, τοῦ Ἁγίου Πνεύματος ἐχρημάτισας, δωρεὰν ἅπασι, νέμων τὰς ἰάσεις, τοῖς προστρέχουσι τῇ σκέπῃ σου· διὸ θεράπευσον, καὶ ἡμῶν τὰς νόσους Ἀρσένιε, ψυχῆς ὁμοῦ καὶ σώματος, καὶ στενοχωρίας καὶ θλίψεως, πάσης ἡμᾶς ῥῦσαι, καὶ λύπης καὶ σκανδάλων χαλεπῶν, καὶ προσβολῶν τῶν τοῦ ὄφεως, ταῖς σαῖς παρακλήσεσι.

ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Ἱλαρότητι γνώμης συμπαθέστατος πέλων Πάτερ τοῖς πταίουσι, ψυχήν μου τὴν ἀθλίαν, ἐκ βόθρου τῶν πταισμάτων, πρὸς μετάνοιαν ἕλκυσον, τῇ συμπαθείᾳ τῇ σῇ, Ἀρσένιε θεόφρων,
Γαυριῶντα δολίως καθ’ ἡμῶν θεοφόρε τὸν ἀνθρωπόλεθρον, κατάβαλε εὐχές σου, ὁ λύσας τῶν δαιμόνων, τὰ πικρὰ μηχανήματα, Ἀρσένιε ἱερέ, Ὁσίων ἡ προσθήκη.
Ἐντολῶν τοῦ Σωτῆρος πρὸς θερμὴν ἐργασίαν ἡμᾶς διέγειρον, τῇ σῇ ἐπιστασίᾳ, Ἀρσένιε παμμάκαρ, τοὺς πιστῶς ἀνακράζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.
Θεοτοκίον.
Ῥῶσιν δίδου μοι Κόρη καὶ παθῶν πολυτρόπων τὴν ἀπολύτρωσιν, μετάνοιαν γνησίαν, καὶ φῶς ἐν τῇ καρδίᾳ, ἵνα πίστει κραυγάζω Σοι· χαῖρε Παρθένε ἁγνή, βροτῶν ἡ σωτηρία.

Ὠδὴ η΄. Τὸν Βασιλέα.
Ἁγίων βίον, ἐν ταῖς ἐσχάταις ἡμέραις, μιμησάμενος Ἀρσένιε παμμάκαρ, βλύζεις τοῖς σοῖς δούλοις, ἁγιασμὸν καὶ χάριν.
Σωτηριώδης, ἡ σὴ ἀντίληψις πέλει, διασώζουσα πολυειδῶν κινδύνων, τοὺς πιστῶς φωνοῦντας, τὴν κλῆσίν σου τρισμάκαρ.
Ἴδε παμμάκαρ, τοὺς εὐλαβῶς προσελθόντας, τῇ ἁγίᾳ σου καὶ πανευώδει κάρᾳ, καὶ παράσχου πᾶσι, τὴν πατρικήν σου χάριν.
Θεοτοκίον.
Μῆτερ Κυρίου, Ὑπεραγία Παρθένε, ἀποκάθαρον τὴν ταπεινὴν ψυχήν μου, πάσης ἁμαρτίας, τοῖς οἰκτιρμοῖς Σου Κόρη.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.
Ὁ μέγας τῶν Παρίων, ῥύστης καὶ προστάτης, ταύτην τὴν νῆσόν σου φύλαττε πάντοτε, τῆς τοῦ ἐχθροῦ ἐπηρείας Πάτερ Ἀρσένιε.
Ὑψόθεν μὴ ἐλλείπῃς, Πάτερ ἐποπτεύων, καὶ τὰς δεήσεις ἀεὶ προσδεχόμενος, τῶν εὐλαβῶς προσιόντων τῇ θείᾳ κάρᾳ σου.
Ὑπέρτερόν με δεῖξον, τῆς τοῦ βροτοκτόνου, ἐπιβουλῆς καὶ μανίας Ἀρσένιε, τὸν εὐλαβῶς σοι τὸν ὕμνον τοῦτον ὑφάναντα.

Θεοτοκίον.
Ὑψίστου Λόγου Μῆτερ, ἄχραντε Παρθένε, τῇ ἐπιλάμψει τῆς Σῆς ἀγαθότητος, τὸ ἐν ἐμοὶ δεινὸν σκότος μακρὰν ἀπέλασον.

Μεγαλυνάρια.
Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.
Χαίροις τῆς Ἠπείρου θεῖος βλαστός, καὶ τῆς νήσου Πάρου, ἀντιλήπτωρ καὶ ἀρωγός· χαίροις μοναζόντων, Ἀρσένιε τὸ κλέος, καὶ πάντων τῶν Ὁσίων, ὁ ἰσοστάσιος.
Χαίροις ἱερέων ἡ καλλονή, καὶ τῶν μοναζόντων, τύπος θεῖος ἐν ἀρετῇ· χαίροις ὁ τῆς Πάρου, θερμότατος προστάτης, Ἀρσένιε παμμάκαρ, Ὁσίων σύσκηνε.
Χαίροις ἰαμάτων διηνεκῆ, βρύει σου ἡ κάρα, ἡ ἁγία καὶ θαυμαστή· ὅθεν ταύτῃ Πάτερ, προστρέχοντας ἐν πίστει, παντοίων νοσημάτων ἀπολυτρούμεθα.
Χαίροις ὁ παρέχων ὡς συμπαθής, τοῖς κάμνουσι Πάτερ, καὶ νοσοῦσι πολυειδῶν, πᾶσαν θεραπείαν, καὶ λύων τὸν χειμῶνα, Ἀρσένιε κινδύνων, καὶ περιστάσεων.
Πόθῳ ἠκολούθησας τῷ Χριστῷ, ἐκ παιδὸς θεόφρων, ἀνενδότῳ Πάτερ σπουδῇ, καὶ σοφῶς ἐμπρέψας,

θεοφιλεῖ ἀσκήσει, τῆς χάριτος ταμεῖον, ὤφθης Ἀρσένιε.
Πλήρης ἀνεδείχθης θείου φωτός, ἐν τῇ νήσῳ Πάρῳ, τῇ ἀμέμπτῳ σου βιοτῇ· ὅθεν ἐδοξάσθης, χαρίσμασιν ἁγίοις, καὶ θαυμασίοις πλείστοις, Πάτερ Ἀρσένιε.
Τῇ ἱκετηρίᾳ σου τῇ θερμῇ, κατήγαγες Πάτερ, οὐρανόθεν βροχὴν πολλήν, καὶ δαιμόνων σμῆνος, δίκην βοῶν φανέντων, διώκεις τῷ σῷ λόγῳ, μακρὰν Ἀρσένιε.
Χεῖρα βοηθείας δίδου ἀεί, Πάτερ τοῖς αἰτοῦσι, τὴν ταχεῖάν σου ἀρωγήν, καὶ ἐν πάσῃ ὥρᾳ, τοῦ βίου καὶ ἀνάγκῃ, Ἀρσένιε βοήθει, ἡμῖν τοῖς τέκνοις σου.
Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.
Πάντας, τοὺς προσφεύγοντας θερμῶς, Πάτερ τῇ σεπτῇ σου πρεσβείᾳ, καὶ προσκυνοῦντας πιστῶς, τὴν ἁγίαν κάραν σου, καὶ θαυματόβρυτον, πάσης θλίψεως λύτρωσαι, καὶ στενοχωρίας, καὶ τῶν τοῦ ἀλάστορος, ἐπιβουλῶν χαλεπῶν, δίδου δὲ εἰρήνην βαθεῖαν, ῥῶσιν καὶ ὑγείαν κατ’ ἄμφω, τοῖς σὲ μακαρίζουσιν Ἀρσένιε.

